p. 495b. *ἐθέλω σοι εἰπεῖν ὥσπερ οἱ γεωμέτραι.*

γεωμετρικὴ ἀναλογία ἐστὶν ὡς τόδε πρὸς τόδε οὕτως τόδε 9
πρὸς τόδε· ἀντὶ τοῦ ὡς κ′ πρὸς ι′ οὕτως καὶ δ′ πρὸς β′. φησὶν οὖν, ὅτι γεωμετρικῇ ἀναλογίᾳ ἐπὶ τούτων θέλω χρήσασθαι διὰ τὸ σαφές· δεῖ τοίνυν εἰδέναι, ὅτι ἢ τὰ εἴδωλα πρὸς τὰ εἴδωλα παραβάλλει ἢ τὰ παραδείγματα πρὸς τὰ παραδείγματα ἢ τὰ παραδείγματα πρὸς τὰ εἴδωλα, καὶ ἢ τὰ τοῦ σώματος εἴδωλα πρὸς τὰ παραδείγματα αὐτοῦ τοῦ σώματος ἢ πρὸς τὰ παραδείγματα τῆς ψυχῆς ἢ τὰ εἴδωλα τῆς ψυχῆς πρὸς τὰ παραδείγματα αὐτῆς τῆς ψυχῆς ἢ πρὸς τὰ παραδείγματα τοῦ σώματος. οἷόν τι λέγω· εἰσὶ ψυχῆς παραδείγματα τὸ νομοθετικὸν καὶ τὸ δικαστικόν, σώματος δὲ ἡ ἰατρικὴ καὶ ἡ γυμναστική· πάλιν ψυχῆς μὲν εἴδωλα σοφιστικὴ καὶ ῥητορική, σώματος δὲ ὀψοποιητικὴ καὶ κομμωτική· πῶς οὖν εἴδωλα πρὸς εἴδωλα παραβάλλομεν; ἐὰν εἴπω, ὅτι ὡς ἔστιν ὀψοποιητικὴ πρὸς ῥητορικήν, οὕτως κομμωτικὴ πρὸς σοφιστικήν. ἰδοὺ γὰρ εἴδωλα πάντα, καὶ τὰ μὲν σώματος, τὰ δὲ ψυχῆς· παραδείγματα δὲ πρὸς παραδείγματα, ὡς γυμναστικὴ πρὸς νομοθετικήν, οὕτως ἰατρικὴ πρὸς δικαστικήν· πάντα γὰρ παραδείγματα, καὶ τὰ μὲν σώματος τὰ δὲ ψυχῆς· παραδείγματα δὲ πρὸς εἴδωλα, ὡς γυμναστικὴ πρὸς κομμωτικήν, οὕτως ἰατρικὴ πρὸς ὀψοποιητικήν, γυμναστικὴ μὲν γὰρ καὶ ἰατρικὴ παραδείγματα, ὀψοποιητικὴ δὲ καὶ κομμωτικὴ εἴδωλα· πάντα δὲ τοῦ σώματος· ἐὰν δὲ εἴπω ὡς νομοθετικὴ πρὸς σοφιστικήν, οὕτως δικαστικὴ πρὸς ῥητορικήν· ἔλαβον μὲν καὶ οὕτως τὰ μὲν παραδείγματα, τὰ δὲ εἴδωλα, ἀλλὰ πάντα ψυχῆς· ἐπεὶ τοίνυν μακρὸν διὰ τούτων ἐποιήσατο τὸν λόγον, ἀπολογεῖται καὶ φησίν· ἐπειδή, ὦ

2 Plat. Pol. 257b

| | | | | |
|---|---|---|---|---|
| 11 mg. | | παραδείγματα | εἴδωλα | |
| | ψυ- | νομοθετική | σοφιστική | ψυ- |
| | χῆς | δικαστική | ῥητορική | χῆς |
| | σώ | γυμναστική | κομμωτική | σώ- |
| | ματος | ἰατρική | ὀψοποιική | ματος |

9 ψυχῆς] seqq. ÷ ÷ ÷ in ras. **10** πρὸς—σώματος] om. mg. add. **M**